Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tro-ao

*Αἰσχύλου Σχόλια* · Aeschylus Scholia

# Scholia-Persians

*Σχόλια εἰς Πέρσας*

**Period:** *Ὀψιμαρχαία* Late Antique

**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek

**Domain:** *Γραμματική* Grammar

**Format:** *Ἔμμετρος* Verse

book 1 (primum scholion ad finem argum. Byz. po- sui). —δεικτικῶς (gl.). — τάδε μὲν Περσῶν: οἱ ὑπομνηματισάμενοί φασιν ὅτι ἑαυτοὺς λέγουσιν πιστώματα Περσῶν οἱ κατὰ τὸν χορόν. ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσικὴ πίστειρα, ἣν συγκόψας Πίστα ἔφη. οἱ δὲ ἄλλως ὑπομνηματισάμενοί φασιν· ἡμεῖς ἐσμεν οἱ πιστοὶ χρηματοφύλακες Περσῶν.

book 2 Πίστειρα κατὰ συγκοπήν· ἔστι δὲ Περσικὴ πόλις.

book 3 λείπει τὰ βασίλεια.

book 4 λείπει τὸ ἐσμέν. κατὰ πρεσβείαν: κατὰ τιμὴν αἱρεθέντες.

book 5 οὓς αὐτὸς ἄναξ: οὓς αὐτὸς ὁ Ξέρξης κατέλιπεν κατὰ τιμήν.

book 6 Δαρειογενὴς Δαρείου υἱός: καὶ μὴν Δαρεῖοι τρεῖς. τούτων δὲ πρῶτος ὁ Ὑστάσπου, προκριθεὶς δὲ ὑπὸ τῶν Περσῶν καὶ βασιλεύσας, Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας. δεύτερος δὲ Δαρεῖος ὁ Ἀρταξέρξου νόθος προσαγορευθείς. ἔσχατος Δαρεῖος ὁ ὑπὸ Ἀλεξάνδρου τοῦ Φιλίππου ἀναιρεθείς. τινὲς δὲ καὶ τέταρτον Δαρεῖον γράφουσιν. sch. M v. 1 διὰ (litterae fere plane evanuerunt, χ' Vitellius) γερόντων προλογίζει.

book 7 ἄρχειν, ἐπόπτας εἶναι.

book 8 τῷ βασιλείῳ: τῷ Ξέρξου. Ὁμηρικῶς δὲ πρῶτον τὸν βασιλέα, εἶτα τοὺς ὑπηκόους· ‘Ἀτρεῖδαί τε καὶ ἄλλοι‘.

book 10 διαπολεμεῖται, ταράσσεται, θορυβεῖται (gl.).

book 13 οἴχωκεν: ἀπόλωλε γὰρ [ἡ] πᾶσα ἡ δύναμις τῶν Περσῶν (ἡ deest in omni- bus praeter Wecklinianam editionibus).

book 16 ἠδ’ Ἐκβατάνων: ὅτι (i.e. σημείωσαι ὅτι) Ἀκεσσαία πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκεσσαίου τὰ νῦν Ἐκβάτανα καλούμενα.

book 17 πόλις Περσῶν τὸ Κίσσινον.

book 20 τὸ πύκνωμα (gl.). — ὄντες· ἢ τὸ πολέμου ἀντὶ τοῦ πολέμῳ.

book 21 ὑπέρθεσις διὰ τὸ μέτρον (gl.). —τὰ μὲν τῶν ὀνομάτων ἱστόρησεν, τὰ δὲ τελείως ἔπλασεν.

book 24 βασιλῆς βασιλέως: βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ Πέρσῃ. —ὕπαρχοι (gl.).

book 26 ἱππικοὶ καὶ τοξόται.

book 27 φοβεροὶ μὲν ἰδεῖν: ἐκ προσόψεως ἱκανοὶ φοβεῖν ὁμοίως καὶ ἐκ τῆς πείρας.

book 28 γνώμῃ ἢ φιλοτιμίᾳ. ἄλλως (ἐνάλλως, ἐν expuncto, m): ἐνυποστάτῳ δοκήσει καὶ πείσματι (πίσματι m) ψυχῆς.

book 34 ὑποχείριοι γὰρ ἦσαν τότε Περσῶν Αἰγύπτιοι (οἱ Αἰγ. Dd. Kirchh., οἱ om. Weckl.).

book 35 τινὲς διαιροῦσι Σουσισκάνης (Σοῦσις καὶ Κάνης Blomf.) καὶ Πηγάς καὶ Ταγών. τὰ γὰρ ὀνόματα πέπλακε καὶ οὐκ ἔστιν Αἰγυπτιακά.

book 38 Αἰγυπτίας (Αἰγυπτίους m).

book 40 ⎧ καὶ ἑλειοβάται: οἱ τὸ ⎪ Αἰγύπτιον ἕλος οἰκοῦντες ⎪ ἢ κοινῶς Αἰγύπτιοι. ἑλώ- ⎨ δης γὰρ ἡ Αἴγυπτος. οἱ ⎪ δέ· οἱ καὶ ἐπὶ ἕλους ἐλαύ- ⎪ νειν δυνάμενοι ναῦς, ὅπερ ⎩ ἐστὶ τῶν δυσχερεστάτων.

book 42 ἁβροδιαίτων. δ’ ἕπε- (ται): ὄντως γὰρ τοιοῦτοι οἱ Λυδοί. καὶ τῷ (τῶ m, τὸ Weckl.) παρ’ Ἀνακρέοντι ‘Λυδοπαθεῖσ‘ τινες ἀντὶ τοῦ ἡδυπαθεῖς. καὶ τὸ περιφερόμενον ‘μήτε μοι Λυδῶν καρύκας (καρύκκας m) μήτε μαστίγων ψόφουσ‘. καὶ ὁ Λυδοφοίτης δὲ μυροπώλης τὴν τρυφὴν ταύτην (οἶμαι τὸν τρυφητὴν in marg.) δηλοῖ. καὶ τὴν βάκκαριν δὲ ἔνιοι Λυδῶν μύρον ἔφασαν.

book 43 οἱ διόλου τὴν ἤπειρον οἰκοῦντες.

book 45 διόπται καὶ διέποντες ἡγεμόνες.

book 48 ἀντὶ τοῦ ἅρματα (gl.). —ἀντὶ τοῦ τέθριππα καὶ ἑξάιππα τάγματα. ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἵππων δηλοῖ (idem G, nisi quod ἕξιππα et δηλοῖ τῶν ἵππων exh.).

book 50 ‘κλῦθ’ Ἀλαλά, Πολέμου θύγατερ, ᾇ θύεται ἄνδρεσ‘ (κλῦθι ἀλλαπολέμου θύγατερ αἰθύεται ἄνδρες m). 〈Πίνδαροσ〉 ἐν διθυράμβοις. οὕτως στεῦται ἑνικὸν ἀντὶ πληθυντικοῦ. —ἔνοικοι, γείτονες (gl.).

book 52 ἄκμονες: ἀκίνητοι ὑπὸ λόγχης ὡς ἄκμων ὑπὸ σφυρῶν.

book 56 ἀντὶ τοῦ ἐμπείρους τοξικῆς.

book 57 κοινῶς ἁπάντων Περσῶν.

book 59 προτροπαῖς (gl.).

book 64 ἡμερόλεγδον: τὸ ἐκ τῶν ἡμερῶν (ἀριθμῶν m, corr. Weckl.) καταριθμούμενον, παρὰ τὰς ἡμέρας καὶ τὸ λέξασθαι. —μακραῖς ἡμέραις λεγόμενον.

book 65 μηκυνόμενον (gl.).

book 66 πεπέρακεν: κωμῳδεῖται ταῦτα. Εὔπολις ἐν Μαρικᾷ (μαρίκα m)· ‘πεπέρακε μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς (μαρίκας m).

book 68 τὴν Εὐρώπην (gl.).

book 69 ὡς λινῶν τῶν κάλων ὄντων. —sch. 72 et alte- rum sch. 73 vid. infra, alterum collationis gratia hic pono: ξεύξας 〈διὰ〉 νεῶν τὴν θάλασσαν.

book 72 γρ. ἔρεισμα· τὴν ναῦν.

book 73 ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον ταῖς ναυσὶ συνδήσας αὐτὰς καὶ γῆν ἐπιβαλών, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. διὸ πολύγομφον ὅδισμα εἶπεν. —(alterum ad h. v. schol. vide supra.)

book 75 τὴν Εὐρώπην (gl.). — ποίμνιον (gl.). —τὸ ἀνδρικὸν πλῆθος, σημαῖνον τὸ στράτευμα 〈τὸ βασιλικὸν〉 παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. ποιμανόριον τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον.

book 80 σκληροῖς ἡγεμόσιν.

book 80sq

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρυσονόμου γενεᾶς: νῦν τῆς πλουσίας. τινὲς δὲ (γὰρ m) ἀνέγνωσαν χρυσογόνου διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγενῆσθαι (γεγεννῆσθαι m): ὃ καὶ βέλτιον. ἄλλως· τῆς Περσέως γενεᾶς ἀπόγονος· ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ πολυχρύσου. — (πολυχρύσου· τινὲς [τινὸς cod.] χρυσογόνου ἀνέγνωσαν διὰ τὸ τὸν Περσέα ἐκ χρυσοῦ γεγενῆσθαι· ὃ καὶ βέλτιον G.)

book 85 Σύριόν θ’ ἅρμα: ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι τὸ πρότερον Ἀσσύριοι (ἀσύριοι m) ἐκαλοῦντο.

book 86 τοῖς Ἀθηναίοις.

book 87 τὸν τῶν Περσῶν· τοξόται γάρ. —Idem in G, nisi quod γὰρ οὗτοι ibi legitur. τὸν τῶν Π. τοξότην· τοξότης γὰρ οὗτος L.

book 88 δόκιμος: ἀνδρεῖος, δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. — ἀντιστάς, ἀντιμαχεσάμενος (ἀντιμαχησάμενος m).

book 90 ‘οὔτ’ ἄρα ἕρκεα ἴσχει‘ (Hom. E 90). —τάξεσιν (gl.).

book 91 ἄμαχον κῦμα θαλά(σσης): τὴν προσβολὴν τῶν Περσῶν.

book 92 ἀκαταμάχητος (gl.).

book 93 ἐπὶ τοῦ αὐτοῦ στρατὸς καὶ λαός.

book 94 δολόμητιν δ’ ἀπάτ(αν): ὡς ἔδει παρατέτακται ὁ Ξέρξης. εἰ δὲ θεοῦ ἐπιβουλῇ τὰ τῆς νίκης ἀναβάλλεται (ἀναβάλεται m), τίς ὁ νικήσων θεόν;

book 96sq πηδήματος εὐπετέος· εὐκινήτου. —Ὅμηρος (I 501) ‘ἡ δ’ Ἄτη σθεναρή τε καὶ ἀρτίπος, φθάνει δέ τε πᾶσαν ἐπ’ αἶαν‘.

book 98* ἡ γὰρ ἐκ θεοῦ, φησίν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. ἅμα γὰρ δολοῖ καὶ προσαίνει (προσσαίνει Herm.) καὶ κακοποιεῖ.

book 98 ἡ θεῶν ἀπάτη.

book 104 ἐξ ἀρχῆς (gl.). —τὸ παλαιόν· τὸ ἀνέκαθεν ἀνδρεῖοί εἰσι καὶ κατὰ εἱμαρμένην πολεμοῦσι. πολεμικοὶ δὲ ὄντες οὐχ ἡσσηθήσονται.

book 105 ἐπέσκηψε δέ: ἀντὶ τοῦ εἰδέναι ἐποίησεν.

book 110 ἔμαθον δ’ εὐρυπόρ(οιο): οὐχ οἱ Πέρσαι ναυτικοί, ἀλλ’ οἱ ὑπήκοοι Περσῶν. τινὲς (τί m, corr. Dd.) δὲ τὸ ἔμαθόν φασιν (φησιν m, corr. Dd.) ἀντὶ τοῦ μαθεῖν ἐποίησαν.

book 111 πολιαινομένας: ἀφριζομένης τῷ ἀφρῷ τῆς κωπηλασίας.

book 114 λεπτοδόμοις: τοῖς λεπτῶς κατεσκευασμένοις.

book 115 λαοπόροις τε μηχ(αναῖς): ταῖς τοὺς λαοὺς πορθμευούσαις ἢ ταῖς ἀπὸ τῆς κωπηλασίας μηχαναῖς ταῖς ὑπὸ τῶν λαῶν γινομέναις· οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων.

book 117 ἡ συνετή (gl.). —μελαγχίτων: πενθήρης ἢ ἀμφιμέλαινα. ἔστι δὲ παρὰ τὸ ‘σὺ δ’ ἔνδοθι θυμὸν ἀμύξεις‘ (Hom. A 243. ἀμύξης m). τὰ γὰρ τοῦ σώματος πάθη δοκοῦμεν καὶ τὴν ψυχὴν πάσχειν.

book 119 ὀᾶ: Περσικὸν θρήνημα.

book 121 μὴ πόλις πύθ(ηται): μὴ πύθηταί τις τῶν ἑτέρων πόλεων κενὸν ἀνδρῶν ὂν τὸ ἄστυ. μὴ τὸ τῆς Σουσίδος ἄστυ κένανδρον ἀκούσῃ.

book 124 ἀντίδουπον: ἀντηχήσει τοῖς θρήνοις· μὴ ἀντηχήσῃ, φησί, θρῆνον αὐτῶν τελευτησάντων.

book 127 ἀπύοντος, πρὸς τὸ ἀντίδουπον ἔσεται; ἢ λείπει τὸ ἔσται· ἔσται ἀπύων· ἢ ἡ μετοχὴ ἀντὶ τοῦ ῥήματος, ἀντὶ τοῦ ἀπύσει.

book 128 κατὰ κοινοῦ πάλιν τὸ μή· μὴ ῥῆξις πέσῃ 〈ἐν add. Kirchh.〉 πέπλοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 131 καταλελοίπασι τὴν πόλιν ἀκολουθοῦντες Ξέρξῃ ὡς μέλισσαι τὸ σμῆνος.

book 133 τὸν ἀμφίζευκτον· τὸν ζευγνύντα ἄμφω τὰς ἠπείρους ἢ ζευγνύμενον ἐξ ἀμφοῖν. ἢ τὸν ὑποζευχθέντα. βατὸν γὰρ αὐτὸν ἐποίησεν ὁ Ξέρξης.

book 134 (135) τὸν Ἑλλήσποντον· οἱ δέ, ὅτι Ταῦρον τὸ ὄρος.

book 135 πρῶνα: τὸν προνεύοντα εἰς ἄμφω τὰς ἠπείρους ἢ τὸν κοινὸν ἑκατέρας γῆς. μεταξὺ γάρ ἐστιν Εὐρώπης καὶ Ἀσίας.

book 136 τῇ ἀπουσίᾳ αὐτῶν

book 138 ἐπιμόνως πενθοῦσαι, ὡς δοκεῖν ἁβρύνεσθαι ἐπὶ τῷ (τὸ m, corr. Kirchh.) πενθεῖν.

book 139 μετὰ φιλάνορος πόθου (gl.).

book 142 ἄνευ τοῦ ἀνδρός.

book 144 [στέος.]

book 146 ὁ δέ ἀντὶ τοῦ γάρ· ἡ γὰρ χρεία προσῆκον ποιεῖ τὸ βουλεύεσθαι.

book 148 ὅτι κατὰ πατέρα συγγενὴς ἡμῖν, τουτέστιν ὁ ἐκ προγόνου ἰθαγενής.

book 151 τῆς ἀπὸ ξύλου κρανείας.

book 155 προσκυνῶ in textum insertum.

book 156 προσηγορικοῖς (gl.).

book 159 (in fine paginae v. 125 —169 continentis) Ἄτοσσα, θυγάτηρ Κύρου, γυνὴ Δαρείου, μήτηρ Ξέρξου κατὰ Ἡρόδοτον (III, 68).

book 160 τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι. Idem l et marg. G.

book 161 ἡ εὐδαιμονία (gl.).

book 162 διὰ ταῦτα (gl.).

book 166 κονισθεὶς ἢ κονίσας αὐτὸς τὸ οὖδας.

book 168 διὰ ταῦτα (gl.).

book 169 χωρὶς γὰρ ἀνδρῶν ἄχρηστά ἐστι τὰ χρήματα.

book 170 μήτ’ ἀχρημά(τοισι): μήτε τοὺς πένητας πᾶν (παντ m) σθένος ὁρᾶν τοῦ φωτός· ὅ ἐστιν· οὐ πάσης ἀπολαύουσι τῆς τοῦ φωτὸς ἡδονῆς οἱ πένητες.

book 172 σημείωσαι γνώμην.

book 177 ἀντὶ τοῦ δύνηται.

book 184 πρόσεχε τῇ (τῆ s m) τοῦ ὀνείρου ἀναγνώσει. ἐντεῦθεν ἔλαβεν Σοφοκλῆς (frg. 796 N.) τὸ ‘ἐδοξάτην μοι τάδ’ (τὰ δύ’ Valcke- naer) ἠπείρω μολεῖν‘ καὶ Εὐριπίδης ‘ἔδοξεν ὕπνῳ τῆσδ’ ἀπαλλχθεῖσα γῆσ‘ (Iph. T. 44).

book 188 Ἄνδρων ὁ Ἁλικαρνασεύς φησι· ‘Ὠκεανὸς δὲ γήμας Πομφολύγην καὶ Παρθενόπην ἴσχει ἐκ μὲν Παρθενόπης Εὐρώπην καὶ Θρᾴκην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην· ἀφ’ ὧν τὰς ἠπείρους ὀνομασθῆναι συμβέβηκεν‘.

book 195 τῇ Περσίδι δεικτικῶς· [ὡς] τῇ ἡμετέρᾳ, ἣν φορῶ (ὡς del. Vitellius).

book 196 ὑπήκοον (gl.).

book 197 ἐσκάριζεν. —ἐν τῇ βίᾳ δίφρου χαλινὰ ῥήσσει.

book 199 τὸν δίφρον ἀχαλίνωτον γενόμενον.

book 202 αἰδεσθεὶς τὸ πτῶμα.

book 206 οἷς ἀποτροπιαζόμεθα τοὺς ὀνείρους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 211 χηλαῖς: τοῖς ὄνυξιν.

book 216 οὐχ ὑπεύθυνος: οὐ τιμωρητέος, οὐ δίκας ὀφείλων, διὰ τὸ ὑμᾶς αὐτὸν παρορμῆσαι καὶ κοινῇ ἤτοι κοινῷ δόγματι εἶναι τὴν ἔξοδον.

book 220 (immo 219) ὡς οὐ δεινὰ τεθέασαι.

book 219 ἱκεσίαις (gl.).

book 226 τὰ δὲ κακὰ κατασχεθέντα (κακὰ τὰ σχεθέντα m, corr. Weilius) ὑπὸ τῆς γῆς ἀφανισθῆναι τῷ σκότῳ.

book 227 θυμόμαντις: οὐ φύσει μάντις, ἀλλ’ ἀπὸ λογισμοῦ κρίνων καὶ [ὑπὸ Add. m] ἐνθυμήσεως.

book 229 ἀλλὰ μὴν εὔνους: ἀντὶ τοῦ σὺ πρῶτος ἀκούσας τοῦ ὀνείρου εὐνοϊκῶς συνεβούλευσας ἐξιλεώσασθαι οὐρανίους 〈καὶ add. Rob.〉 χθονίους δαίμονας.

book 230 τὸν ὄνειρον (gl.).

book 231 ἐκτελοῖτο δὲ τὰ χρηστά: ἡ ἐξιλέωσις 〈εἴθε〉 εἰς ἀγαθὸν ἀποβαίη.

book 235 φθινασμάτων: τῶν λήξεων, τῶν δυσμῶν· ἢ τῶν δύσεων ἢ τῶν ἐκλείψεων· ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. ἔνθεν καὶ λὶψ ὁ ἄνεμος ὁ ἀπὸ δυσμῶν.

book 237 εἰ ληφθείησαν αἱ Ἀθῆναι.

book 239 ἔρξας πολλά: τῆς ἐν Μαραθῶνι πεζομαχίας μέμνηται. —Idem sine lem- mate et verbis διὰ τούτων post μέμνηται additis marg. G.

book 241 τὰ ἐν τῇ Ἀττικῇ (gl.). —ἀργύρου πηγή: ἐν Θορικῷ γάρ ἐστι μέταλλα καὶ ἐν Λαυρίῳ.

book 242 τοξικὴ βολή (gl.).

book 243 ἔγχη σταδαῖα: ἐκ τοῦ συστάδην μαχόμενα· δι’ ὧν (sive οἷς, οἷον m) συστάδην μάχονται. τοὺς γὰρ ἐκ διαστημάτων μαχομένους κατηυτέλιζον.

book 246 μὴ ἔχοντες τὸν ἐφεστηκότα (gl.).

book 248 ἀντὶ τοῦ ἡμῖν.

book 249 κατὰ τὴν ἐμὴν δόκησιν μαθήσῃ τἀληθῆ.

book 251 λείπει ὥστε.

book 255 τὸ κάλλος, τὸ στράτευμα.

book 256 ‘στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν‘ (ex κακῶς ἀπών corr. m1) (Soph. Ant. 277).

book 259 ἀνίατα.

book 260 νεωστὶ μηνυθέντα (corr. μηνιθέντα) ἡμῖν ὑπό τινος τῶν δαιμόνων.

book 261 δακρύετε.

book 262 ὃ εἶπον.

book 265 εἰς τοῦτο ἐμακρύνθη ὁ βίος ἡμῶν, εἰς τὸ ἀκοῦσαι τοιαῦτα κακά.

book 273 (immo 272) διαφόρων ἐθνῶν. —ἐπ’ αἶαν ‘Ελλάδα δῖαν χώραν.

book 278 ὑπὸ τοῦ αἵματος, in marg. h. v. adscriptum ζτ. ΑΛΙΔΟΝΙ i. e. ζήτει ἁλιδόνα.

book 280 πλαγκτοῖς: ὡς ἂν εἴποι τις διαύλοις. τὰ γὰρ κύματα ἐκχεῖται καὶ ὑπονοστεῖ. διπλάκεσι δὲ ταῖς δύο πλαξί, τῆς θαλάσσης τε καὶ γῆς. ἢ ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς.

book 282 ἀντὶ τοῦ προσβολαῖς (gl.).

book 284 δυσθρήνητον.

book 285 διακεκομμένοις.

book 289

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμῖν τοῖς δηΐοις στυγνότητος αἴτιαι πάρεισιν εἰς μνήμην αἱ Ἀθῆναι, ὅ ἐστι τῶν Ἀθηνῶν ἡ μνήμη στυγνοὺς ἡμᾶς ποιεῖ.

book 291 ματαίως, μηδὲν βλαψάσας (gl.).

book 292 ἐποίησαν (gl.). —ὀρφανάς.

book 295 λείπει ἡ προς, προσλέξαι. τοιοῦτοι δὲ οἱ συμφοραῖς μεγάλαις κατεχόμενοι.

book 298 καταστάς: κατάστασιν τοῦ θορύβου λαβών.

book 299 τίς οὐ τέθνηκεν: καλῶς πρῶτον περὶ τῶν ζώντων ἐρωτᾷ ὡς ὀλίγων ὄντων, παρίστησι δὲ καὶ τὸ πλῆθος τῶν ἀποθανόντων.

book 300 λαῶν ἀρχόντων (gl.). —ἀρχελείων: τῶν βασιλέων, ἀπὸ τοῦ τῶν λαῶν ἄρχειν.

book 303 ἐνόμιζε γὰρ αὐτὸν τεθνάναι.

book 306 πετρώδεις. —Σιληνίαι αἰγιαλὸς Σαλαμῖνος (πλησίον add. Blomf., cf. Hesych. s. v. Σιληνίαι) τῆς λεγομένης Τροπαίου ἄκρας, ὡς Τιμόξενος ἐν τῷ ϛʹ περὶ λιμένων.

book 309 Βάκτρα πόλις Περσίδος.

book 310 εὐφήμως· κεῖται ἐν Σαλαμῖνι.

book 312 τὴν πολυτρήρωνα Σαλαμῖνα παρὰ τὸ Ὁμήρου ‘πολυτρήρωνά τε Θίσβην‘ (B 502).

book 313 κύρισσον: συνέκρουον ἀλλήλοις (ἄλλοις m, corr. Kirchh.). ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζῴων τῶν τυπτόντων τοῖς κέρασιν.

book 315 ταῦτα οὐκ ἔχει τὸν Αἰγύπτιον χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται.

book 319 τινὲς ἀντὶ γενικῆς πυρρᾶς γενειάδος· καὶ τὸ ἑξῆς· ἔτεγγεν (τέγγεν m) χρῶτα, ἔβρεχε τῷ αἵματι. —δασύτριχον (gl.).

book 321 Μάγος ἐθνικόν, Ἄραβος κύριον.

book 322 ὁ ἐκεῖ ἀπελθὼν (ἀποθανὼν Kirchh.) μετοικήσει τὴν Σαλαμῖνα τὴν σκληρὰν καὶ πετρώδη. —ἐν Σαλαμῖνι μετοικήσας, εὐφήμως· παρ’ ὅσον ἀνυπόστροφος αὐτῷ ἡ εἰς ταύτην ἔφοδος (ἡ ἐκ ταύτης ἄφοδος m) γέγονεν.

book 327 ἀπὸ πόλεως.

book 330 ἡγεμὼν (gl.).

book 333 λείπει τὸ κακῶν.

book 334 ἰαμβικὸς ὁ στίχος.

book 336 ἀναλαβών.

book 338 ἄξιον ἡγήσασθαι, τολμῆσαι.

book 339 προσβολαῖς (gl.).

book 340 λείπει τὸ ἦν.

book 341 σημείωσαι τὸ τῶν νεῶν πλῆθος τῶν στρατῶν ἀμφοτέρων.

book 342 τουτέστι τʹ.

book 343 ἐκ τῶν τʹ δέκα ἦσαν αἱ ἡγούμεναι ὡς βελτίονες.

book 346 σζʹ αἱ ἄρισται· ἢ σιδʹ, ἵνα ᾖ τὸ δὶς ἐκ κοινοῦ.

book 349 τὰ τῶν Περσῶν ζυγὰ βαρήσας. —‘ῥέπε δ’ αἴσιμον ἦμαρ Ἀχαιῶν‘ (Hom. Θ 72).

book 352 Ἀλκαῖος ‘ἄνδρες γὰρ πόλεως πύργος ἀρεύιοσ‘ (ἀρήϊος Vict.).

book 358 ἀνὴρ γὰρ Ἕλλην: βουληθέντων γὰρ τῶν Ἑλλήνων φυγεῖν διὰ τὸ πλῆθος τῶν Περσῶν, Θεμιστοκλῆς Σίκιννον τὸν παιδαγωγὸν ἔπεμψε πρὸς τὸν Ξέρξην ὡς αὐτομολήσαντα, λέγοντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ Ξέρξῃ ὅτι μέλλουσι φυγεῖν Ἕλληνες. τοῦτο δὲ ἐποίησεν, ἵνα ἐν ἀπογνώσει μαχήσονται οἱ Ἕλληνες.

book 367 ὡς ἀπὸ Ξέρξου ὁ λόγος.

book 368 κατὰ περίφρασιν τὸν αἰθέρα.

book 369 πλῆθος (gl.).

book 370 τὰς ἐξόδους.

book 371 κοινὸν τὸ τάξαι.

book 372 ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν, ὡς εἰ ἐξειλήσαιεν, φησίν, οἱ Ἕλληνες δραπετεύσαντες, πᾶσιν ἠπείλει τοῖς ταχθεῖσιν αὐτῷ (αὐτοῖς m, αὐτοὺς Paleius) φυλάξαι τῆς κεφαλῆς στερηθῆναι. ἄτοπον δὲ ἀπειλεῖν πλήθει τοσούτῳ θάνατον. βέλτιον οὖν κράτος· τῆς τιμῆς καὶ ἀρχῆς στερίσκεσθαι, ἵν’ ᾖ κράτος ἀντὶ κράτους.

book 379 κώπην εὐήρετμον ἀμφὶ σκαλμὸν ἐδέσμευε 〈τροπωτῆρι (vid. p. XXXI sq.)〉. τροπωτὴρ δὲ ὁ λῶρος ὁ (τροπωτῆροδω et spatium sex fere litterarum m, corr. Dd.) δεσμεύων τὴν κώπην· πρὸς τῷ σκαλμῷ.

book 381 καὶ νὺξ ἐγένετο καὶ (pertinent haec ad 387) οὐδεὶς Ἑλλήνων ἠξίωσεν.

book 382 ἐπιστήμων (gl.).

book 383 τῆς πολεμικῆς (gl.).

book 388 ὡς ᾠόμεθα.

book 398 τὰ τῶν Ἑλλήνων ἐξέκαιεν καὶ ἀνήγειρεν ἡ σάλπιγξ.

book 399 ῥοθιάδος: τῆς ἠχητικῆς· ἢ τῆς ἐν ὑγρῷ ἐλαυνομένης.

book 402 τὸ Θεμιστοκλέους (gl.).

book 403 τὸ ἀριστερὸν καὶ τὸ μέσον. Iam sequitur in M sch. v. 411.

book 405 σημείωσαι.

book 408 τάφους.

book 411 τὸ ἔμβολον λέγει· στόλον δὲ λέγει παρ’ ὅσον εἰς ὀξὺ συνεσταλμέναι εἰσίν· οὕτως γὰρ ἔλεγον στόλον τὰ ἀπωξυμμένα. Haec post sch. v. 403, sed h. l.: τὸν ἔμβολον παρὰ τὸ εἰς ὀξὺ συνεστάλθαι.

book 413 ἀντὶ τοῦ Περσίδος (gl.).

book 414 τὴν ναῦν δόρυ εἴρηκεν.

book 415 ἀντὶ τοῦ δὴ (gl.).

book 416 μεταξὺ Σαλαμῖνος καὶ Αἰγίνης τὸ στενὸν ἦν.

book 419 παράλογον τὸ δυϊκόν.

book 420 οὐχ ἁπλῶς οὐδὲ ἀδιδάκτως.

book 422 ἀντὶ τοῦ αἱ νῆες.

book 423 τῶν Περσῶν δηλονότι (sed hoc post sq. schol. scriptum). ναυαγία (αὐτὸ add. m, del. Weckl.) τὸ πάθος, ναυάγιον δὲ αὐτὸ τὸ ναυαγῆσαν σκεῦος. διὰ τοῦτο οὖν ναυαγίων βαρυτόνως· τῶν πτωμάτων (σωμάτων m, corr. Weckl.).

book 427 ἄγραν (gl.).

book 428 ἐρείπια (ἐρίπια m) κυρίως τὰ πτώματα τῶν οἴκων· νῦν δὲ τὰ θραύσματα τῶν νεῶν.

book 431 λείπει τὴν μάχην. ἕως ἡ νὺξ ἐπιγινομένη ἔπαυσεν αὐτοὺς τῆς μάχης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 432 (in fine paginae, post v. 432 qui est extremus, scriptum) Ἴων ἐν ταῖς Ἐπιδημίαις παρεῖναι Αἰσχύλον ἐν τοῖς Σαλαμινιακοῖς φησι.

book 433 ἐφεξῆς λέγοιμι, στοιχομυθοίην.

book 435 πλῆθος ἀνθρώπων τοσοῦτον τῷ ἀριθμῷ. μήποτε δὲ τοσουτάριθμον θέλει.

book 436 εὔκαιρος ἡ τροπὴ ἀπὸ τῶν ἐν πελάγει ἀτυχησάντων.

book 440 τῇ κακῶν (κακῇ m, corr. Vict.) δηλονότι.

book 443 μείζονα.

book 446 εἰς πίστιν ἐν πρώτοις ὅ ἐστι πιστικώτατοι.

book 450 τὴν Ψυττάλειάν (Ψυτταλίαν m, corr. Vict.) φησιν, ἣ ἀπέχει πρὸς ἤπειρον (προς ρον et inter προς et ρον trium fere littera- rum spatium posito ζτ in marg. m, corr. Dd.) σταδίους ε′, ὅπου φυγόντες οἱ ἡγεμόνες τῶν Περσῶν ὑπὸ Ἀθηναίων ἀπώλοντο.

book 452 ὁ θεὸς ὁ Πάν (gl.). —ἢ ὡς ἱερᾶς οὔσης Πανός· ἢ ὡς ἐρήμου (ἔρημος m).

book 453 ὁ Ξέρξης (gl.).

book 454 ἀντὶ τοῦ μετὰ φθορᾶς ἐξέλθοιεν.

book 457 σκοπῶν (gl.).

book 458 τῆς ναυμαχίας.

book 461 τοὺς Πέρσας.

book 464 θῶμιγξ λέγεται τὸ λεπτὸν σχοινίον.

book 468 ἀπὸ τῶν ὑδάτων ἡ μεταφορά.

book 469 καθαράν, κεχωρισμένην· ἢ αὐγάζοντα καὶ ὁρῶντα. λέγει δὲ τὸ ἀντικρὺ Σαλαμῖνος ὄρος τὸν (τῶν m, corr. Vict.) Αἰγάλεων, ὥς φησιν Ἡρόδοτος (VIII 90).

book 472 φυγεῖν δῆλον ὅτι.

book 475 ψευσθῆναι ἐποίησας τῶν φρενῶν καὶ ἀποτυχεῖν ὧν ἤλπιζον.

book 478 ἐπὶ Δαρείου (ab ea- dem manu quae textum scripsit).

book 483sq ἐκεῖ, φησίν, ἀπίασιν ὅπου ὁ ἄνεμος αὐτοὺς φέρει.

book 486 τόπος Βοιωτίας ἡ Κρήνη.

book 487 οἷον μετὰ ἄσθματος.

book 490 ὁ Σπερχειὸς ἐξ Αἰνιάνων (Ἀνιάνων m, corr. Dd.) ῥέων εἰς τὸν Μηλιακὸν ἐμβάλλει κόλπον.

book 497 Θρᾴκης. —λίμνη Θρᾳκική.

book 499 παρὰ καιρόν.

book 500 Στρυμὼν ποταμὸς Θρᾴκης. καὶ ὁ πάνυ ἀσεβής.

book 504 κρυστάλλῳ πεπηγότα. —τὸ ἑξῆς διαπερᾷ.

book 508 διελθεῖν καὶ ῥεῦσαι· ἐποίησεν.

book 514 τὴν Περσίδα τὴν ἔχουσαν αὐτῶν τὴν ἑστίαν.

book 520 πεφονευμένου (gl.).

book 523 οὐκ ἀληθῶς. —αὐτά· ἀντὶ τοῦ τὰ ὀνείρατα.

book 524 ἡ ὑμῶν κρίσις ἡ λέγουσά μοι εὔξασθαι θεοῖς καὶ Δαρείῳ.

book 527 πέλανον: πεπεμμένον πλακοῦντα.

book 528

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἶδα μὲν ὅτι τὸ κακὸν ἤδη ἐγένετο· ἀλλὰ κἂν ἐπὶ τοῖς ζῶσιν ἀνδράσιν εὔξομαι (εὔξωμαι m, εὔξομαι Robort.).

book 541 κατασχίζουσαι, ἐνεργητικῶς.

book 544 ἁβρόγοοι: αἱ ἐντρυφῶσαι τοῖς δάκρυσιν.

book 550 βαστάζω.

book 552 τῶν ἀνδρῶν.

book 553 εἰς τὸν πόλεμον.

book 556 βαρίδες αἱ νῆες.

book 560 βασιλεύς.

book 566 περισσοὶ οἱ δύο δέ καὶ τὸ ὡς. τὸ δ' ἑξῆς· μόγις δὲ διαφυγεῖν ἀκούομεν τὰς χεῖρας Ἰαόνων τὸν ἄνακτα.

book 568 (immo 567) ὃ ἡμεῖς λέγομεν παρ' ὀλίγον.

book 571 (574) περὶ τῶν τεθνηκότων ἐν Σαλαμῖνι. — πρωτόμοροι: οἱ πρῶτοι ἀποθανόντες. τὸ ἑξῆς τούτου ἐστί· σκύλλονται (σκύλονται m) πρὸς ἀναύδων.

book 572 πρὸς ἀνάγκαν: τὴν τοῦ θανάτου. Ὅμηρος· 'ἐπεὶ κατὰ μοῖρ' ἐπέδησεν' (λ 291).

book 573 τῆς Σαλαμῖνος.

book 574 παραγώγως ἀντὶ τοῦ δάκνου.

book 575 ἕως τοῦ οὐρανοῦ βόησον τὰ ἄχη.

book 577 θρηνητικήν (gl.).

book 578 βοητικήν.

book 580 τῶν ἰχθύων.

book 581 τῆς θαλάσσης· αὐτὴν γὰρ λέγει ἀμίαντον.

book 582 λείπει πᾶς.

book 588 ὑπὸ Περσῶν ἄρχονται.

book 592 τὰ τοιαῦτα πάντα κτητικὰ μακρὸν ἔχει τὸ α.

book 591*1 αἱ γὰρ βασιλεῖαι ἔχουσι τοῦτο.

book 594 οὐδένα γὰρ δεδίασιν οἱ ὑπήκοοι ἔτι. ἠλευθέρωται οὖν αὐτῶν ἡ γλῶσσα πρὸς τὸ κακηγορεῖν βασιλέα.

book 597 ἡ ἀλκή.

book 600 σώματα.

book 601 ἔθος ἔχουσιν οἱ δυστυχοῦντες δυστυχίαν φαντάζεσθαι, οἱ δὲ εὐτυχοῦντες εὐτυχίαν.

book 605 οὐριεῖν: οὐριοδρομεῖν. παρὰ τὸ Ὁμηρικὸν (ς 136) 'τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγῃσιν'.

book 607 ἀνταῖα: ἐναντία μοι φαίνεται τὰ θεῶν· οἷον ἀντικειμένους ἡμῖν ὁρῶ τοὺς θεούς.

book 608 οὐ παιώνιος, ἀλλὰ φθαρτικός.

book 612 πατρὶ παιδός. —(Le- gitur post v. 618 in fine paginae) σημείωσαι τὸ εἶδος τῶν χοῶν.

book 614 λευκῆς ἢ ἀγελαίας ἢ ἀσινοῦς.

book 615 φαιδρόν (gl.).

book 616 σὺν ὕδατι πηγαίῳ. — καθαρᾶς (gl.).

book 617 ἀγριοποιοῦ διὰ τὴν μέθην.

book 619 ἀεὶ γὰρ ἔχει τὰ φύλλα· διὸ προσέθηκεν ‘ἐν φύλλοισι θαλλούσησ‘ (θαλούσης m) πρὸς τὸν καρπόν. οὐ γὰρ διηνεκής.

book 621 στέμματα.

book 623 ὡς θεὸς γὰρ παρὰ Πέρσαις τιμᾶται.

book 626 τιμία παρὰ Πέρσαις (gl.).

book 633 τὴν Δαρείου.

book 636 μακαρίτης ὁ τεθνεώς, μακάριος ὁ ζῶν.

book 640 θρηνητικά.

book 645 τὸν καταχθόνιον.

book 646 αἰνέσατε ἐλθεῖν. ἐξ Ἅιδου.

book 650 τάφος (scripsit M).

book 654 τὸν μόνον γενόμενον βασιλέα διὰ τὸ κηδεμονικόν. ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι. ἢ τὴν Δαρείαν ψυχὴν ἀνάπεμψον.

book 659 ὑπὸ τὸν ἑαυτοῦ πόδα ἡνιόχει.

book 660 βαλλῆνα τὸν βασιλέα. Εὐφορίων δὲ Θουρίων φησὶ τὴν διάλεκτον. —βαλλήν: βασιλεὺς κατὰ Θουρίους.

book 664 εἶδος ὑποδήματος.

book 665 τιάρας: τῆς κυρβασίας.

book 666 φαίνων, δεικνύων τῆς περικεφαλαίας τὸν λόφον.

book 675 ὡς ἐπῳδῇ κέχρηται τῷ (τῇ m) ‘βάσκε πάτερ‘.

book 678 ἀντὶ τοῦ δυνάστα.

book 679 δύο, Πέρσου καὶ Ξέρξου. —ἁμάρτια: ὁμοῦ ἡρμοσμένα. τινὲς (per comp., quod γρ., sed facile com- mutatur eo, quod τινὲς significat) δὲ τὰ ἁμαρτήματα.

book 682 αἱ μηκέτι νῆες. ἀπώλοντο γάρ.

book 683 ὑποκρίνεται ὁ Δαρεῖος. —ἐκ πιστῶν πατέρων πιστοὶ υἱοί.

book 689 μεγάλως θρηνοῦντες.

book 690 οὐκ εὐέξοδον: οὐ δυνατὸν ταχέως ἐξιέναι. ἀπολογεῖται δὲ ὡς βραδύνας.

book 693 μεγάλα δυνηθεὶς παρ’ αὐτοῖς.

book 695 νεωστὶ γενόμενον, παρὰ τὴν αἰχμήν (νεωστὶ παρὰ τὴν αἰχμὴν γενόμενον m, corr. Weckl.).

book 700 μήκους ἐχόμενον.

book 702 τὰ πρὸς χάριν εἰπεῖν δέδια μέν (δεδίαμεν m) σοι.

book 703 δέδια. —ἀληθεῦσαι· λυπηθήσῃ γάρ.

book 708 γνώμη.

book 710 ἐν τῷ μακρῷ τοῦ βίου χρόνῳ. —ὁ μείζων (gl.).

book 714 praescriptum γ (i.e. γνώμη).

book 716 σημείωσαι τὸ ὡς ἔπος εἰπεῖν.

book 719 Ἡρόδοτος (VII, 2) ζʹ φησι Δαρείου παῖδας εἶναι, Ἑλλάνικος δὲ ιαʹ.

book 720 τὸ ἄπλωμα, περιφραστικῶς τὴν ἤπειρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 722 καὶ ναυτικὸν καὶ πεζόν (gl.)

book 724 ὥστ' ἐπέχειν τὸ ὕδωρ καὶ συνέχειν τὸν πόρον.

book 725 τὸν Ἑλλήσποντον (gl.). —Βόσπορον: τὸν Ἑλλήσποντον (in marg. super. ante v. 708).

book 726 ἴσως καὶ συνήργησεν αὐτῷ δαίμων τις.

book 730 τῶν ναυτικῶν φθαρέντων οἱ ἐν Ψυτταλείᾳ (ψυταλία m) εὐάλωτοι γεγένηνται.

book 733 τῆς ἀπολομένης.

book 734 ὅ ἐστι πάντες νέοι.

book 737 διαπράττεσθαι. —ἐν ἐρωτήσει.

book 738 τὸν Ἑλλήσποντον, ὃς ζεύγνυσιν Ἀσίαν καὶ Εὐρώπην. —γρ. φυγεῖν (gl.).

book 740 ἀμφιβολία (ἀμφιβολίας m, corr. Vict.). τοῦτο οὐκ ἄδηλον.

book 741 ὡς τοῦ Δαρείου (μαντείου Kirchh.) εἰπόντος αὐτὸν ἀποβαλεῖν πολὺν στρατόν.

book 744 ὅταν, φησί, σπουδάζῃ τις εἰς κακὰ ἢ εἰς καλά, ὁ θεὸς συνεπιλαμβάνεται.

book 747 διὰ τὸ ἱδρῦσθαι (ἱδρύσθαι m) αὐτόθι Διὸς ἱερόν, ὡς Μνασέας· ἢ τὸν ἀνειμένον, ὡς ʻἱερὸν ἰχθύνʻ (Hom. Π 407).

book 753 δέδοικα μὴ ὁ πολὺς πλοῦτος ἁρπαγῇ ὁ ἐμὸς ὑπὸ τοῦ φθάσαντος.

book 754 τοῦ καταλαμβάνοντος (gl.).

book 758 οἰκουρεῖν.

book 761 τοῖς προτρεψαμένοις.

book 763* εἰς φθορὰν χωρῆσαν.

book 763 ἐκενώθη τὰ Σοῦσα.

book 769 ὁ Ἀρταφέρνης, ὃν ἐτυμολογεῖ ὁ ἀρτίας ἔχων φρένας. —ὁ Ἀρταφέρνης ἐξ ἐτυμολογίας.

book 770 (in marg. super. ante v. 751) Κῦρος πρῶτος προσεκτήσατο Πέρσαις τὴν ἀρχὴν Μήδων ἀφελόμενος. Κύρου υἱὸς Καμβύσης, ἀδελφοὶ δὲ κατὰ Ἑλλάνικον Μάραφις, Μέρφις.

book 773 συνήγαγεν τῇ ἰδίᾳ δυνάμει.

book 775 Καμβύσης.

book 776 πέμπτος δὲ Μάρδος· ἡ γραφὴ ἡμάρτηται. τὸν γὰρ ἐπιθέμενον τῇ Καμβύσου ἀρχῇ μάγον ὄντα οὐδεὶς Μάρδον εἶπεν οὔτε γένος οὔτε ὄνομα. μήποτε οὖν γραπτέον· ʻΜάρδις αἰσχύνη πάτρᾳʻ. ὁμώνυμος (ὁμωνύμως m) γὰρ εἶναι ἴσως ὑπεκρίνετο Μερδίᾳ τῷ Κύρου παιδί, ἀδελφῷ τε Καμβύσου. αἰσχύνη δὲ πάτρᾳ· ὅτι μάγος ὢν περιέσπασε (πῶς ἔσπασε m, corr. Dd.) τὴν Περσῶν ἀρχὴν εἰς μάγους.

book 778 τοῦτον Ἑλλάνικος Δαφέρνην καλεῖ.

book 781 (pertinet ad 780) κακῶς· μετὰ γὰρ τὴν τῶν μάγων καθαίρεσιν Δαρεῖος ὁ μέγας ἦρξεν. —ὁ δέ ἀντὶ τοῦ δή, νῦν.

book 784 praescriptum γ ut 714.

book 787 οἱ πρὸ τοῦ βασιλεύσαντες ἡμεῖς.

book 788 ὅσα νῦν.

book 794 αὐτὴ ἡ Ἑλλάς (gl.). —ἡ Ἀτθίς.

book 796 καρποὺς ἀρκοῦντας μὴ ἔχουσα.

book 797 εὔμετρον.

book 803

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφ’ ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεται.

book 804 οὐ γὰρ τὰ μὲν συμβαίνει, τὰ δὲ οὔ. ἀντὶ τοῦ πάντα συμβαίνει.

book 806 ὁ Ξέρξης.

book 808 ἀντὶ τοῦ λιπαίνει τὴν Βοιωτίαν ὁ Ἀσωπός. πίασμα ἀντὶ τοῦ λίπασμα.

book 809 τὴν ἐν Πλαταιαῖς πεζομαχίαν φησίν, ἣν πρὸς Λάκωνας ἡσσήθησαν.

book 812 ἐνεπίμπρασαν γὰρ τὰ ἱερά.

book 815 ὡραῖον.

book 817 θεμέλιον. αὔξεται τὰ κακά.

book 819 Λακωνικῆς.

book 820 θῖνες: οἱ σωροὶ καίπερ φωνὴν μὴ ἀφιέντες δείξουσι τὸ γεγονός (γένος m, corr. Kirchh.). τριτοσπόρῳ δέ· τρίτῃ τῶν μεταγενεστέρων γενεᾷ.

book 823 γ praescriptum, ut 714.

book 828 τὴν εὐδαιμονίαν.

book 829 τῶν μὴ προσηκόντων εὔθυνος, δικαστής.

book 831 τὸν Ξέρξην.

book 836 ὑπὸ γὰρ τοῦ ἄλγους τῶν κακῶν πάντα ἀμφὶ σώματι στημονορραγοῦσι λακίδες, οἷον διαρρέουσιν.

book 838 διαρρέουσιν (gl.).

book 854 θαυμαστικῶς σύγκρισιν ποιεῖται τῶν ἐπὶ Δαρείου εὐτυχημάτων πρὸς τὰ νῦν κακά.

book 855 in extremo margine ..ονόμου (initium vocabuli in compingendis foliis abla- tum).

book 860 πρῶτα μὲν εὐδοκίμου: πρῶτον μὲν κατὰ πόλεμον διὰ στρατιᾶς εὐδοκιμοῦμεν καὶ ὁρμῶμεν κατὰ νενομισμένα ἔθη ταῖς πόλεσι ταῖς πορθουμέναις, οὐ τεμένη θεῶν πορθοῦντες, οὐ τάφους ἀνασπῶντες, ὡς Ξέρξης τολμήσας ἐποίησεν. —περιβόητοι ἦμεν ἐν πολέμῳ.

book 862 τὰ νόμιμα πάντα τῶν τετειχισμένων πόλεων. —οἱ δὲ δημωφελεῖς δῆμοι (θεσμοὶ corr. Weckl.) πάντα ἐπολιτεύοντο.

book 866 τὸ ὅσας θαυμαστικῶς. τῇ ἀρετῇ Ἕλληνας ὑπέταξεν, οὐκ ἀνάγκῃ ὁ Δαρεῖος.

book 869 σκληροτέρα ἡ συναλοιφὴ (συναλιφὴ m) ποταμουδὲ ἀφ’ ἑστίας, οἷόν ἐστι τὸ τουένεκα τούνεκα.

book 870 ὡς μέχρι Ὑπερβορέων παρατεινούσης τῆς ἀρχῆς Περσῶν.

book 871 αἱ δίυγροι· Ἀχελῷον γὰρ πᾶν ὕδωρ λέγουσι.

book 873 τῶν ἐπαυλισμάτων.

book 874 καὶ ἔξω τῆς θαλάσσης ὅσαι εἰσὶ μεσήπειροι.

book 875 τοῖς τείχεσι κεκυκλωμέναι.

book 876 κατὰ κοινοῦ γεγένηται.

book 877 τοῦ Δαρείου. —ὑπήκουον (gl.).

book 878 ἀπὸ κοινοῦ τὸ οἷαί εἰσιν. —αἱ περὶ (παρὰ m) τὸν Ἑλλήσποντον οἴκησιν ἔχουσαι (αὐχοῦσαι m).

book 879 ‘ἐπὶ πλατεῖ Ἑλλησπόντῳ‘ (Hom. Η 86).

book 881 ὁ Βόσπορος.

book 882 αἱ κατὰ τὸν Ἑλλήσποντον.

book 884 ὑποτασσόμεναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 885 αὖται ἐν τῷ Αἰγαίῳ πελάγει εἰσίν. —ὅτι (i. e. σημείωσαι ὅτι) μεταβέβηκεν εἰς τὸ Αἴγαιον πέλαγος· ἡ γὰρ Λέσβος ἐν τῷ Αἰγαίῳ πελάγει ἐστίν.

book 892 ὑπὸ τὸ ἴδιον κράτος εἶχεν (cf. schol. Byz. v. 900). μεσάγκτους δὲ μεσακτίους, παραθαλασσίους.

book 893 Λῆμνος Θρᾴκης ἐστίν. αὗται δέ εἰσιν αἱ μεσάγκτιοι. —Ἰκάρου (ἴκαρ m, corr. Vict.) τὸν κλύδωνα.

book 897 ἄποικοι γάρ εἰσιν οἱ ἐν Κύπρῳ Σαλαμίνιοι τῶν ἐν τῇ Ἀττικῇ. —τὴν ἐν Κύπρῳ.

book 901 Ἰωνίδας (ἰονίδας m) πόλεις.

book 903 τῷ ἰδίῳ λογισμῷ, οἷον φρόνιμος ὤν.

book 906 ἀλλὰ ἀληθῶς.

book 907 ὑπὸ θεῶν ἐνεχθέντα καὶ θεοῖς δόξαντα.

book 909 δίχα ἅμα θέντες.

book 910 ταῖς ναυμαχίαις.

book 912 κακοτελευτήτου.

book 917 (‘immo 915‘ Vitellius) ὑπομιμνησκόμενος γὰρ τῶν παίδων αὐτῶν αἰσχύνῃ καὶ ἐλέῳ πιέζομαι. (Idem in G, sed ibi αὐτοῦ et ἐλαιω πιέζεται.)

book 921 τῆς τοῖς Πέρσαις νεμηθείσης (gl.).

book 924 ἐγγαίαν: ἐγχωρίαν. τουτέστι τὴν ἐγχώριον· ἢ οὕτως· ἡ γῆ ἡμῶν τὴν ἔξω τῆς γῆς ἥβην σεσαγμένην ὑπὸ τοῦ Ἅιδου καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει (αἰάξει m).

book 925 τὸ ἑξῆς· ἥβαν Περσᾶν.

book 926 σάκτορι: τῷ πληρωτῇ παρὰ τὸ σάσσω (σάσω m). ὅτι δι’ αὐτὸν ἀπέθανον. —ἔθνος Περσῶν. τὸ ἑξῆς· Ἀγδαβάται γὰρ ἐξέφθινται.

book 928 ἔκφυσις, γονή. τοῦτο διὰ μέσου. —φύστις: ἡ πεφυρμένη καὶ ἐπὶ γῆς πεσοῦσα.

book 931 γαίας ἐπὶ γόνυ τὸ ἑξῆς.

book 934 θρηνητὸς τῇ γέννῃ ἀντὶ τοῦ δυστυχῶς γεννηθείς.

book 937 προσφώνησίν σοι τοῦ νόστου πέμψω τὴν κακοφάτιδα βοήν.

book 939 βοήν (m1). (Ad schol. Byz. cf. sch. M v. 940 alterum.)

book 940 Καλλίστρατος ἐν δευτέρῳ περὶ Ἡρακλείας Τιτυοῦ τρεῖς παῖδας εἶναι, Πριόλαν Μαριανδυνὸν μόνον (Βῶρμον ὃν corr. Weckl. praeeunte Dd.) κυνηγετοῦντα ἀπολέσθαι, καὶ μέχρι νῦν Μαριανδυνοὺς ἀκμῇ θέρους θρηνεῖν αὐτόν. τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιστα τὴν θρηνητικὴν αὐλῳδίαν καὶ διδάξαι Ὕαγνιν τὸν Μαρσύου πατέρα. καὶ αὐλοὶ δέ τινές (compendio ut v. 679) εἰσι Μαριανδυνοὶ ἐπιτηδειότητα ἔχοντες εἰς τὰς θρηνῳδίας. καὶ τὸ περιφερόμενον ‘αὐλεῖ Μαριανδυνοῖς καλάμοις κρούων Ἰαστί‘. — ὡς τῶν Μαριανδυνῶν θρηνῳδῶν ὄντων· καὶ αὐλοὶ δέ τινες λέγονται Μαριανδυνοὶ ἐπιτηδείως ἔχοντες πρὸς θρήνους.

book 944 ἡ τύχη μεταβέβληται.

book 947 τὰ πάθη τῶν λαῶν σέβων.

book 948 τὰ ἐν τῇ θαλάσσῃ συμβάντα ἀτυχήματα τῶν πολιτῶν.

book 949 πένθους ἀξίας (gl.).

book 952 ὁ Ἀττικὸς στόλος ἀφείλετο τὴν Περσῶν σωτηρίαν.

book 953 ὁ τῶν Ἰώνων.

book 954 τουτέστι νικηφόρος.

book 955 ἀποκείρας στυγνὴν πλάκα κατὰ τὴν δυσδαίμονα ἀκτήν, τουτέστι κατὰ τὴν Σαλαμῖνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 982 σημείωσαι ὅτι βασιλέως ὀφθαλμὸς ἀριθμεῖ τὰς στρατιάς.

book 983 τὸν ὄντα ὀφθαλμόν.

book 984 μετρητὴν στρατοπέδου, οἷον 〈κατὰ add. Heim- soeth.〉 μυριάδα ἀριθμοῦντα τὰς ὅλας ἡγεμονίας. ἀριθμῆσαι κατὰ πεντάδα ἀνὰ μυρίους ἔχοντας (ἔχοντα Dd.) τοὺς ἀρχομένους.

book 989 διακοπτικῶν πολεμίων κακῶν.

book 991 φιλίαν.

book 994 παρὰ τὸ ‘κραδίη δέ οἱ ἔνδον ὑλάκτει‘ (Hom. υ 13).

book 996 ἔθνος Περσικόν.

book 997 λείπει ὁ καί.

book 999 τοὺς ἄνακτας τῶν ἵππων.

book 1002 ἀπέθανον οὐκ ἐπὶ ὀχημάτων ὄντες, ἀλλὰ γυμνοὶ καθεστηκότες.

book 1005 γρ. καὶ ἀκρόται· ἐξ οὗ ἔσται ἀπὸ τοῦ ἄκρου. εἰ δὲ ἀγρόται, ἀπὸ τοῦ ἄγειν καὶ ἀγείρειν. —οἱ ἄρχοντες· εἰ δὲ ἀκρόται, οἱ ἄκροι (gl.).

book 1006 οἷον κακὸν ἡ Ἄτη ἐφορᾷ.

book 1016 κακωθὲν πολέμῳ καὶ δυστυχῆσαν.

book 1018 κόπτομαι, θρηνῶ ὀλέσας τοσοῦτον στρατόν.

book 1019 λείπει κακά. ἢ στικτέον ἐν τῷ τί δέ (δαί m)· εἶτα· οὐχὶ τὰ μεγάλα Περσῶν ὄλωλεν; ἵνα λείπῃ 〈πράγματα〉 τὸ τί δέ (δαι m)· ὅπερ λέλειπται.

book 1020 θεωρεῖς τὸ περίλοιπον ἐμοὶ (ἐμὲ m, corr. Paleius) λείψανον τῆς ὅλης στρατιᾶς. —οἷον στόλου (gl.).

book 1022 τὴν φαρέτραν.

book 1025 ὀλίγα ἐσώθη ἀπὸ πολλῆς πανοπλίας.

book 1027 ἐρωτηματικῶς.

book 1030 τὸν ἡμῶν ναυτικὸν λαόν.

book 1031 τοῦτο καὶ ὁ ἄγγελος προεῖπεν.

book 1033 ὑπερβαίνει θρῆνον.

book 1036 τῶν Περσῶν.

book 1039 δάκρυε τὸ ἀτύχημα.

book 1042 δίδου τοῖς κακοῖς τὴν κακὴν δόσιν. ὅ ἐστι τὰ δάκρυα.

book 1043 συντιθεὶς μέλος θρήνει, ἀντὶ τοῦ εὐρύθμως.

book 1047 τύπτε σεαυτὸν εἰς ἐμὴν χάριν.

book 1050 ὁ θρῆνος.

book 1051 ἐπεκτεταμένως θρήνει.

book 1053 πενθήρης.

book 1055 οἱ γὰρ Μυσοὶ καὶ οἱ Φρύγες εἰσὶ μάλιστα θρηνητικοί.

book 1058 ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας.

book 1063 ψάλλε ἀντὶ τοῦ τίλλε. καὶ χοιροψάλας Διόνυσος ὁ τίλλων τὰ μόρια τῶν γυναικῶν. —τίλλε (in altero marg.).

book 1077 προπέμψω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org